XVIII. Ἀλέξανδρος γὰρ, 1 ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι τε Φοινίκων, καὶ ὅσοι Κύπριοι ἢ Αἰγύπτιοι εἵποντο ἐν τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας, ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος, ὅσοι τῶν θαλασσίων ἔργων δαήμονες. Ἦσαν δὲ καὶ 2 νησιῶται ἄνδρες οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ, οἷς ταῦτα ἔμελε, καὶ Ἴωνες, καὶ Ἑλλησπόντιοι. Τριήραρχοι δὲ αὐτῷ ἐπεστά- 3 θησαν, ἐκ Μακεδόνων μὲν Ἡφαιστίων τε Ἀμύντορος, καὶ Λεοννάτος ὁ Εὔνου, καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέους, καὶ Ἀσκληπιόδωρος ὁ Τιμάνδρου, καὶ Ἄρχων ὁ Κλεινίου, καὶ Δημόνικος ὁ Ἀθηναίου, καὶ Ἀρχίας ὁ Ἀναξιδότου, καὶ Ὀφελλᾶς Σειλήνου, καὶ Τιμάνθης Παντιάδου· οὗτοι μὲν Πελλαῖοι. Ἐκ δὲ Ἀμφιπό- 4 λεως ἦγον οἵδε· [ἐκ Κρήτης]

XVIII. Alexander enim parata jam ad Hydaspis ripas classe, collectis omnibus Phoenicibus et Cypriis aut Aegyptiis qui in expeditione versus orientem secuti fuerant, ex iis naves implevit; delectis ministris ac remigibus, qui rerum navalium peritissimi essent. Erant vero etiam in exercitu insulares non pauci iis in rebus bene versati, Ionesque ac Hellespontii. Trierarchos vero constituit: ex Macedonibus quidem Hephaestionem Amyntoris filium, Leonnatum Euni, Lysimachum Agathoclis, Asclepiodorum Timandri, Archontem Cliniae, Demonicum Athenaei, Archiam Anaxidoti, Ophellam Sileni, Timanthem Pantiadae; hi Pellaei erant. Ex Amphipoli hi duces fuerunt: Nearchus Androtimi filius,

NOTAE CRITICAE AD CAP. XVIII.

3. Λεοννάτος ὁ Εὔνου] cf. nota ad Exped. III, 5, 7.

4. ἐκ Κρήτης — has voces uncis inclusi, tanquam suspectas, nec ullum Graecum nedum Arrianum sic scribere